la Maestà Imperiale in tempo di trauaglio con quattro nauigli armati di soldatesca, e remiganti à suoi dispendij, come diffusamente và comprobando la serie del seguente Diploma, l'Originale di cui in Idioma Greco, permane qual gloriosa reliquia appresso l'Auttore. Dic'egli

ΔΙΑ' ΧΑ'ΡΙΝ ΤΟΥ͂ ΠΑΝΤΟΔΥΝΑ'ΜΟΥ ΘΕΟΥ͂

# Ε'ΜΜΑΝΟΥΗ'Λ
## ΚΟΜΝΗΝΟ'Σ

Δοὺξ Πελοπονήσου, Ῥωμανίας Δεσπότης.
Καὶ Διάδοχος πάσης Αὐτοκρατείας,
καὶ Βασιλείας Ῥωμαίων.

Ἐκ τῶν δικαιοτάτων σκοπῶντες ὑπάρχειν, τοὺς ἑκάστῳ τῷ πόθῳ ἐν τοῖς τῶν Μεγιστάνων, καὶ Βασιλέων προστάγμασιν ὑπήκοντας, καὶ τούτοις τῇ τῆς καρδίας ὀρέξει δουλεύοντας, πάσης τιμῆς, καὶ δωρήματος ὑπ' αὐτῶν ἀξιοῦσθαι. μᾶλλον δὲ, τοὺς τὰ ἴδια σώματα εἰς κινδύνους ἰσχυροτάτων πολέμων τιθέντας, τῆς τε γλυκυτάτης ταύτης ζωῆς, καὶ νεότητος μὴ φειδομένους ὑπὲρ τοῦ ἑαυτῶν Βασιλέως, πόλεμον ὑπ' ἀλλοφύλων ἐχθρῶν ἔχοντος. τουταυτὸν καὶ ἡμεῖς πράττομεν, δωροφορούμενοι τοὺς εἰς ἑκάστην ἀνάγκην, καὶ ἡμετέραν χρείαν, ἢ καὶ πόλεμον καθ' ἡμῶν ἐγειρόμενον βοηθείας χάριν συνδραμόντας. Ὅθεν τῆς βοηθείας μέγιστον σκεῦος ἐφευρηκότες τὸν Εὐγενέστατον, καὶ Μεγαλοπρεπέστατον Κύριον ΓΕΩ'ΡΓΙΩΝ ΜΑ'ΡΜΟΡΑ, ἀνθοχάριτον ἐκ τοῦ ἡμετέρου Γένους βλάστημα, Ἄνδρα τίμιον, καὶ ἐνάρετον, μεγαλόθυμον, καὶ ἐν δυνάμει ἀνδρείας περίδοξον, πάσης τε τῆς τῶν Ἐπιστημῶν Σοφίας, καὶ Συνέσεως πλήρη. ὃς πολλάκις ὑπὲρ τῆς ἡμῶν Βασιλείας θάνατον ἑλεῖν ἐκλέξατο, ἑαυτὸν παρεχόμενος εἰς διαφόρους κινδύνους, καὶ ἀνάγκας ἡμῶν. καὶ τὸ μᾶλλον, ὡς βοηθείας χεῖρα ἡμῖν προθυμοτάτως δέδωκεν, ὅτε τὴν δεδοξασμένην κατὰ τῶν Γαλῶν νίκην ἐγείρομεν, τούτους ἀποδιώκοντες πάσης Πόλεως χώρας τῆς ἡμετέρας Βασιλείας, ἀπονέμομεν αὐτῷ τὴν νῆσον Προκόννησον μετὰ πάντων τόπων, καὶ χωρίων. ἔτι δὲ καὶ πάντων τῶν ἐκεῖσε κατοικούντων ἀνθρώπων ἐξουσιάζειν, ἔντε ζωῇ, καὶ θανάτῳ πράττειν, καὶ εἰς ἅπαντα τὴν πρόνοιαν ἔχειν ἀνεμποδίστως, ὡς βούλεται, οὐδεμίαν ἐ-
ξέτασιν